**ἀντεπίρρημα**

Hephaest. 73. 5 sqq. ἐστι τὰ κατὰ σχέσιν γεγραμμένα, τό τε μέλος καὶ τὸ ἐπίρρημα, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ἑκκαίδεκα ἦν στίχων, καὶ τὸ τῷ μέλει ἀντίστροφον καὶ τὸ καλούμενον ἀντεπίρρημα, ὅπερ ἦν τῶν ἴσων κώλων τῷ ἐπιρρήματι.

Hephaest. 75. 19 sqq. τῆς δὲ παραβάσεως μερῶν ὄντων ἑπτά, ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ· οὐδὲν ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἃν μηδὲν ἀνταποδιδῶται. ἐὰν δὲ ἐνῇ τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἔστι τὰ ἀνταποδιδόμενα, ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα.

Poll. IV 112 (I, p. 234. 9 sqq. Bethe) τῆς μέντοι παραβάσεως τῆς κωμικῆς ἑπτὰ ἂν εἴη μέρη, κομμάτιον παράβασις μακρὸν στροφὴ ἐπίρρημα ἀντίστροφος ἀντεπίρρημα … (14 sqq.) τῇ δὲ στροφῇ ἐν κώλοις προᾳσθείσῃ τὸ ἐπίρρημα ἐν τετραμέτροις ἐπάγεται. καὶ τῆς ἀντιστρόφου τῇ στροφῇ ἀντᾳσθείσης, τὸ ἀντεπίρρημα τελευταῖον ὂν τῆς παραβάσεώς ἐστι τετράμετρα, οὐκ ἐλάττω τὸν ἀριθμὸν τοῦ ἐπιρρήματος.

Tzetz. in Aristoph. *av*. 785. 1 (p. 1146 Koster) οὐδέν ἐστ᾽] ἀντεπίρρημα.

Tzetz. in Aristoph. *nub*. 607b (p. 529 col. 2. 4 Holwerda) ἀντεπίρρημα.

Tzetz. in Aristoph. *ran*. 718b (p. 889. 1 Koster) ἀντεπίρρημα.

Schol. in Aristoph. *av*. 785a (p. 123 Holwerda) vet Tr ἀντεπίρρημα REΓMLh στίχων ις´ Lh.

Schol. in Aristoph. *av*. 785b (p. 123 Holwerda) Tr οὐδέν ἐστ᾽ ἄμεινον] τὸ ἀντεπίρρημα ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. καὶ τοῦτο γὰρ ἐκ τροχαϊκῶν ἐστι στίχων τετραμέτρων καταληκτικῶν ις′, ὧν τελευταῖος· (v. 800) ʻμεγάλα πράττει κἄστι νῦν ξουθὸς ἱππαλεκτρυών᾽. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα Lh.

Schol. in Aristoph. *av*. 1058d (p. 163 Holwerda) Tr ἤδη μοι τῷ παντόπτᾳ] ἡ παράβασις αὕτη οὐκ ἔχει πάντα τὰ μέρη, ἀλλὰ μόνα δ′, τὴν ᾠδὴν καὶ στροφήν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν καὶ τὸ ἀντεπίρρημα Lh.

Schol. in Aristoph. *eq*. 503 (p. 125 Jones-Wilson) vet ὑμεῖς δ᾽ ἡμῖν] ἐντεῦθεν παράβασις γίνεται, καὶ ἔστι τοῦτο τὸ καλούμενον κομμάτιον. μεθ᾽ ὃ οἱ ἀνάπαιστοι, ἔπειτα τὸ μακρόν, μετὰ ταῦτα δὲ ἡ στροφή, ἔπειτα τὸ ἐπίρρημα, ἑξῆς δὲ ἡ ἀντίστροφος, καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα.

Schol. vet. in Aristoph. *nub*. 510a (p. 116. 13 sqq. Holwerda) εἴδη δὲ παραβάσεως ἑπτά, ἁπλᾶ τρία καὶ κατὰ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν· στροφή, ἀντίστροφος, ἐπίρρημα, ἀντεπίρρημα. ἡ μὲν οὖν στροφὴ καὶ ἀντίστροφος συνεμπίπτουσι κατὰ τὸ μέτρον καὶ τὰ κῶλα· πάλιν τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστίν. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις, ὧν ἐστι καὶ αὕτη.

Schol. rec. in Aristoph. *nub*. 510a. 1 sqq. (p. 79 Koster) Tr[1] ἀλλ᾽ ἴθι χαίρων] τοῦτο κομμάτιον τοῦ χοροῦ ὀνομάζεται. ἔθος γάρ ἐστι πρὸ τῆς παραβάσεως κομμάτιον προλέγειν. καλεῖται δὲ τὸ ὅλον παράβασις· ἔχει δὲ μέρη ϛʹ, ὧν τὸ αʹ λέγεται κομμάτιον, τὸ βʹ παράβασις καὶ μακρὸν ἢ πνῖγος, τὸ γʹ στροφὴ καὶ ᾠδή, τὸ δʹ ἐπίρρημα, τὸ εʹ ἀντῳδὴ καὶ ἀντιστροφή, τὸ ϛʹ ἀντεπίρρημα

Schol. rec. in Aristoph. *nub*. 510c. 5 sqq. (p. 79 Koster) Tr[2] τῆς δὲ παραβάσεως μέρη εἰσὶν ἕξ, ὡς καὶ ἐν ταύταις ἐπιγράφεται, κομμάτιον, παράβασις, ὃ καὶ μακρὸν καὶ πνῖγος λέγεται καὶ ἀνάπαιστος, ἐπεὶ πολλάκις ἀναπαίστοις ἐν τούτῳ χρῶνται, στροφὴ καὶ ᾠδή, ἐπίρρημα, ἀντῳδὴ καὶ ἀντιστροφή, καὶ ἀντεπίρρημα … 11 sqq. (p. 80 Koster) εἰσὶ δὲ τῶν μερῶν τούτων τῆς παραβάσεως τὰ μὲν ἁπλᾶ, τὰ δὲ κατὰ σχέσιν. τὸ μὲν γὰρ κομμάτιον καὶ ἡ παράβασις ἁπλᾶ, τὰ δὲ λοιπὰ ἔχει σχέσιν πρὸς ἄλληλα· ἡ γὰρ ᾠδὴ ἔχει τὴν ἀντῳδὴν ὁμοίαν ἑαυτῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα, τὸ δὲ ἐπίρρημα ἔχει ὡσαύτως ὅμοιον ἑαυτῷ τὸ ἀντεπίρρημα … 22 sqq. (p. 80 Koster) Ἡφαιστίων γάρ φησιν (ὲ. 75. 19 sqq.) ὅτι τῆς παραβάσεως μερῶν ὄντων ἑπτὰ ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ. οὐδὲν ἧττον δὲ *α* [δὲ ἧττον *β*] καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀνταποδιδῶται· ἐὰν δὲ ἔνι τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι, ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα, ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα· ἐν δὲ τοῖς ἀνταποδιδομένοις πάλιν ἐφ᾽ ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατ᾽ ἀρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι διὰ τούτων δηλούντων ἡμῶν, ὅτι ἀνταποδίδοται.

Schol. rec. anon. in Aristoph. *nub*. 518c (p. 304 Koster) ἴσθι, ὅτι ἡ τελεία παράβασις εἴδη ἑπτά τινα ἔχει· κόμμα, μακρόν, πνῖγος, παράβασιν, ἐπίρρημα, ἀντεπίρρημα, στροφήν, ἀντιστροφήν. παράβασις δὲ λέγεται, διότι παραβαίνει ὁ ποιητὴς καὶ ἀπὸ τῆς δραματουργίας αὐτοῦ καὶ ἀπὸ τοῦ τόπου.

Schol. Ald. in Aristoph. *nub*. 518b (p. 270. 17 sqq. Koster) συνεμπίπτουσι γὰρ ἀλλήλοις κατὰ τὸ μέτρον καὶ τὰ κῶλα· ἡ γὰρ στροφὴ ἔχει ὁμοίαν ἑαυτῇ τὴν ἀντίστροφον, καὶ τὸ ἐπίρρημα ὡσαύτως τὸ ἀντεπίρρημα. τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν· ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα.

Schol. vet. in Aristoph. *nub*. 595b (p. 132. 10 sqq. Holwerda) ἀντῳδή, ἥτις καὶ ἀντιστροφή. ἔστι δὲ καὶ τὸ μέτρον καὶ ἡ ποσότης ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα.

Schol. rec. anon. in Aristoph. *nub*. 595b α (p. 320 Koster) ἀντεπίρρημα πρὸς τοὺς θεούς.

Schol. rec. anon. in Aristoph. *nub*. 595c (p. 321 Koster) ὡμοίωται δὲ τὸ ἐπίρρημα ἀντεπιρρήματι.

Schol. vet. in Aristoph. *nub*. 607a (p. 135. 16 Holwerda) ἀντεπίρρημα.

Schol. vet. in Aristoph. *nub*. 607b (p. 135. 17 Holwerda) τὸ ἀντεπίρρημα ὅμοιον τῷ ἐπιρρήματι.

Schol. rec. in Aristoph. *nub*. 607a (p. 96 Koster) Th[1/2] Tr[1/2] ἀντεπίρρημα ἤτοι λόγος πάλιν πρὸς τοὺς θεατάς.

Schol. rec. in Aristoph. *nub*. 607b (p. 97 Koster) Tr[1] τὸ ἀντεπίρρημα στίχων τροχαϊκῶν τετραμέτρων κʹ, ὧν τελευταῖος· (v. 626) 'κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας'.

Schol. rec. in Aristoph. *nub*. 607c (p. 97 Koster) Tr[2] ἡνίχ' ἡμεῖς δεῦρο] τὸ ἀντεπίρρημα τοῦτο ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κʹ, ὧν τελευταῖος· (v. 626) 'κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας'. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

Schol. rec. in Aristoph. *nub*. 607d (p. 97 Koster) Tr[2] ἀντεπίρρημα στίχων κʹ.

Schol. rec. anon. in Aristoph. *nub*. 607b (p. 323 Koster) τὸ ἀντεπίρρημα ὅμοιόν ἐστι τῷ ἐπιρρήματι.

Schol. Ald. in Aristoph. *nub*. 607a (p. 272. 11 sq. Koster) ἡνίχ' ἡμεῖς] τὸ ἀντεπίρρημα ... (2) καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν.

Schol. Ald. in Aristoph. *nub*. 607b (p. 272. 13 Koster) ἀντεπίρρημα στίχων κʹ.

Schol. in Aristoph. *pac*. 729c. 1 sqq. (p. 112 Holwerda) Tr ἀλλ' ἴθι χαίρων] ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία, LhAld ἀλλ' ἐλλιπής· τὸ μὲν γὰρ κομμάτιον ἔχει καὶ τὸ μακρὸν καλούμενον καὶ τὴν στροφὴν καὶ ἀντιστροφήν, Lh τοῦ δὲ ἐπιρρήματος καὶ ἀντεπιρρήματος ἐστέρηται LhAld.

Schol. in Aristoph. *pac*. 818a (p. 127 Holwerda) vet ἀφῆκε τὸ ῥῆμα καὶ ἀντεπίρρημα.

Schol. in Aristoph. *pac*. 1127b. 1 sqq. (p. 162 Holwerda) Tr ἥδομαι LhAld ἥδομαι Lh] κἀνταῦθα παράβασίς ἐστιν, ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη, μόνην δὲ τὴν ᾠδὴν καὶ στροφήν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν καὶ ἀντιστροφήν, καὶ τὸ ἀντεπίρρημα LhAld.

Schol. in Aristoph. *pac*. 1172a α. 1 sqq. (p. 167 Holwerda) Tr μᾶλλον ἢ θεοῖσιν] τὸ ἀντεπίρρημα στίχων ἐστὶν ὁμοίων τοῖς τοῦ ἐπιρρήματος, τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛʹ. ἔχει δὲ καὶ ἐν ἐκθέσει, ὡς κἀκεῖνος, κῶλα ὅμοια γʹ· ὧν τὰ μὲν βʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ γʹ, τὸ (v. 1190) 'ἐν μάχῃ δ' ἀλώπεκες', καταληκτικὸν εὐριπίδειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα Lh.

Schol. in Aristoph. *pac*. 1172a β (p. 167 Holwerda) Tr <ὡσαύτως καὶ τὸ ἀντεπίρρημα. ὑφ' ὃ ἡ ἔξω διπλῆ> Ald.

Schol. in Aristoph. *pac*. 1172b (p. 167 Holwerda) Tr ἀντεπίρρημα στίχων ιθʹ Lh.

Schol. in Aristoph. *ran*. 675 (p. 294b. 51 sqq. Dübner) μοῦσα χορῶν ἱερῶν] κἀνταῦθα παράβασίς ἐστιν, ἀλλ' οὐκ ἔχει πάντα μέρη τῆς παραβάσεως, ἀλλὰ μόνα τὰ τέσσαρα, τὴν ᾠδὴν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν, τὸ ἀντεπίρρημα.

Schol. in Aristoph. *ran*. 717 (p. 296a. 51 sqq. Dübner) πολλάκις ἡμῖν ἔδοξε] τὸ ἀντεπίρρημα ὅμοιον κατὰ πάντα τῷ ἐπιρρήματι, ἐκ στίχων κʹ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν συγκείμενον, ὧν ὁ τελευταῖος· (v. 737) 'ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε'. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

Schol. in Aristoph. *vesp*. 1102a (p. 175 Koster) Tr πολλαχοῦ σκοποῦντες] τὸ ἀντεπίρρημα ὅμοιόν ἐστι τῷ ἐπιρρήματι· καὶ τοῦτο γὰρ Lh ἐκ τῶν εἰωθότων Ald στίχων ἐστὶ Lh τροχαικῶν τετραμέτρων καταληκτικῶν κ΄, ὧν τελευταῖος·

(v. 1121) ‘ὅστις ἂν μὴ ᾽χῃ τὸ κέντρον, μὴ φέρειν τριώβολον’. Lh ἐπὶ τῷ τέλει Lh … διπλῆ ἔξω νενευκυῖα LhAld.

Schol. in Aristoph. *vesp*. 1102b (p. 175 Koster) vet Tr ἀντεπίρρημα VΓ$^{3}$ *lhc*BAld χοροῦ *c*(.) στίχων κ´ *lh*Ald.

Schol. in Aristoph. *vesp*. 1265a (p. 199 Koster) vet παραβατικά· εἶτα τὸ ἀντεπίρρημα.

Schol. A in Hephaest. 171. 3 sqq. οἷον <ὅταν> δύο ἢ πλείονα ἀνόμοια ἀλλήλοις καὶ ἑξῆς ἐπαγάγῃ τοσαῦτα συστήματα ὅμοια τοῖς προκειμένοις, πάλιν ἀλλήλοις μὲν ἀνόμοιά ἐστιν, ἀνταποδιδόμενα δὲ τοῖς προκειμένοις συστήμασιν· οἷον εἰ τύχοι δύο περικοπαὶ ἐκ τριῶν συστημάτων αβγ αβγ. ταῦτα ἀλλήλοις ἀνόμοια, ἐπιφερομένων δὲ αὐτοῖς ὁμοίων γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές· τοιαῦτα δέ ἐστιν ἐν δυάδι τὰ ἐν ταῖς κωμικαῖς παραβάσεσιν· οἷον τὸ μέλος καὶ τὸ ἐπίρρημα ἑξῆς κείμενα ἀλλήλοις ἐστὶν ἀνόμοια, ἀλλ᾽ ἐπαγομένου αὐτοῖς τοῦ τε ἀντιστρέφοντος τῷ μέλει καὶ τοῦ ἀντεπιρρήματος, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές, τῶν μὲν περικοπῶν ἀντιστρεφουσῶν ἀλλήλαις, τῶν δὲ μερῶν αὐτῶν ἀνομοίων ὄντων ἀμφοτέρας ἀλλήλοις· ὥστε τὰ ἐν ταῖς παραβάσεσι τῶν κωμῳδιῶν κατὰ διστιχίαν ἀλλήλοις ἀνταποδιδόμενα, ἤγουν κατὰ τὸ αὐτὸ μέτρον, δακτυλικὸν ἢ ἄλλο ὅμοιον, σπανίωτατά ἐστιν. [*C.P.*]